www.tezaurliturgic.ro

†

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΑΡΤΥΡΩΝ ΙΩΑΝΝΟΥ, ΛΟΥΚΑ, ΑΝΔΡΕΟΥ, ΛΕΩΝΙΔΟΥ ΚΑΙ ΑΝΩΝΎΜΟΥ, ΤΩΝ ΕΝ ΣΥΚΟΥΡΙῼ ΛΑΡΊΣΗΣ ΑΘΛΗΣΑΝΤΩΝ

(ἑορταζομένων τῇ 18ῃ Δεκεμβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως * ͵βις' * 2016 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Τῃ ΙΗ' ΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΑΡΤΥΡΩΝ ΙΩΑΝΝΟΥ, ΛΟΥΚΑ, ΑΝΔΡΕΟΥ, ΛΕΩΝΙΔΟΥ ΚΑΙ ΑΝΩΝΥΜΟΥ, ΤΩΝ ΕΝ ΣΥΚΟΥΡΙῼ ΛΑΡΙΣΗΣ ΙΑΘΛΗΣΑΝΤΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Θεσσαλίας ἁπάσης, τοὺς πρωτομάρτυρας, Ἀνδρέαν Ἰωάννην, Λεωνίδα Λουκᾶν τε, καὶ σὺν τῷ Ἀνωνύμου, ὕμνοις πιστοί, συνελθόντες τιμήσωμεν, τοῦ Συκουρίου καυχήματα ἐν Χριστῷ, καὶ γενναίους ἀντιλήπτορας.

Συνωνυμῶν Πρωτοκλήτῳ, Ἀνδρέα εἴληφας, ὥσπερ αὐτὸς τὸ τέλος, μαρτυρήσας ἐνδόξως, Χριστὸν ἀνακηρύξας μόνον Θεόν, καὶ εἰδώλων ψυχόλεθρον, γενναιοφρόνως τὴν πλάνην πρὸ δικαστῶν, ὥσπερ ἔδει ἐμυκτήρισας.

Καταφλεχθεὶς τὴν καρδίαν, τῷ θείῳ ἔρωτι, τρισμάκαρ Ἰωάννη, κατεφρόνησας πάντων, καὶ πίστιν ζωηφόρον, τὴν τοῦ Χριστοῦ, παῤῥησίᾳ ἐκήρυξας, διὸ εὐθὺς τεθανάτωσαι ὡς ἀμνός, καὶ ἐνδόξως τετελείωσαι.

Καθάπερ λέων πῦρ πνέων, Χριστοῦ θεότητα, κηρύξας Λεωνίδη, πρὸ ἀφρόνων τυράννων, καὶ σκότος τῶν εἰδώλων, τὸ ζοφερόν, διαλύσας τοῖς λόγοις σου, τέλους μαρτύρων πανευκλεῶς, ἐν χαρᾷ ψυχῆς ἠξίωσαι.

Λουκᾶ τῆς δόξης μαρτύρων, καὶ σὺ μετέσχηκας, Χριστὸν ἐν Συκουρίῳ, ὡς Θεὸν μόνον ζῶντα, κηρύξας καὶ εἰδώλων πλάνην οἰκτράν, θείοις λόγοις διήλεγξας, διὸ γενναίως ἐτμήθης τὴν κεφαλήν, καὶ Παράδεισον ἀπείληφας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εἰ καὶ τὴν κλῆσίν σου Μάρτυς, σεπτὲ οὐκ οἴδαμεν, ὅμως σε συντιμῶμεν, σὺν λοιποῖς σου συνάθλοις, τοῖς στέφος εἰληφόσι μαρτυρικόν, ὡς γενναίως κηρύξασιν, ἐν Συκουρίῳ θεότητα τοῦ Χριστοῦ, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ.β'.

Φωτὶ τῆς γνώσεως τοῦ Χριστοῦ, κατελλαμφθεῖσα σωτηριωδῶς, ἡ πεντάριθμος τοῦ Συκουρίου δόξα, τὴν πλάνην τῶν Ὀλυμπίων ψευδοθεῶν, γενναιοφρόνως διήλεγξεν, καὶ ταῖς βασάνοις ἀνδρικῷ φρονήματι ὁμιλήσασα, πρώταθλοι ἐν Χριστῷ ἀνεδείχθησαν, ἁπάσης Θετταλίας. Ὅθεν πανευφροσύνως τὴν χαρμόσυνον μνήμην αὐτῶν ἑορτάζοντες, ἱκετικῶς δεόμεθα· τὴν φλόγα τῆς θείας ἀγάπης ἐν ταῖς ψυχαῖς ἡμῶν ὑπανάψατε, στεφανηφόροι Κυρίου σύναθλοι.

Καὶ νῦν. Θεοτοκίον, προεόρτιον.

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός· ὅν περ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· Πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ μαρτυρικὰ ἀναγνώσματα

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ Παῖς, Ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ ἡ χριστώνυμος κώμη τοῦ Συκουρίου, ἐνέγκασα τῷ ἐρχομένῳ ἐν Σπηλαίῳ γεννηθῆναι Χριστῷ, τὴν πεντάριθμον τῶν Μαρτύρων συστοιχίαν, ἥτις ἐν σοὶ τὴν θεότητα τοῦ μόνου Δεσπότου γενναιοφρόνως ἀνακηρύξασα πρὸ τῶν εἰδωλομανούντων, τὸ στέφος ἀπείληφε τῶν ἀθλητῶν τοῦ Κυρίου, καὶ πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τῆς ἀληθείας τοῦ Χριστοῦ τῷ φωτὶ καταλαμπόμενοι, καὶ τῷ Αὐτοῦ ἔρωτι κατατρωθέντες, οὐκ ἐδειλιάσατε πρὸ τῶν ἀνόμων δικαστῶν ἐν Συκουρίῳ, ἀλλὰ συμφώνως τὴν πλάνην τῶν εἰδώλων μυκτηρίσαντες, καὶ Αὐτὸν μόνον Θεὸν ἀληθινὸν ἀνακηρύξαντες, χαίροντες ἐτύχετε τοῦ μαρτυρικοῦ τέλους, καὶ πρεσβεύετε ἀδιαλείπτως ὑπὲρ τῶν πόθῳ τελούντων τὴν χαρμόσυνον μνήμην ὑμῶν, χριστόψυχοι Πεντάριθμοι ἀθληταί.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος γ'.

Τῆς ἀναστάσεως τοῦ Χριστοῦ υἱοὶ γεγονότες, οὐκ ἐδειλιάσατε Αὐτὸν μόνον Θεὸν ὁμολογῆσαι, ὑπὲρ τῆς σωτηρίας τοῦ γένους ἡμῶν σαρκὶ τεχθέντα, ἅγιοι Μάρτυρες τοῦ Συκουρίου. Ὅθεν τὴν ἐν Αὐτῷ ζωὴν σύμψυχοι ποθοῦντες, ὡς ἀρνία ἄκακα ἐσφάγητε, κληρονομήσαντες τὸ ἄφθαρτον στέφος, καὶ πρεσβεύετε ὑπὲρ τῶν πίστει ἑορταζόντων, τὴν ψυχοχαρμόσυνον μνήμην ὑμῶν.

Ἦχος δ'.

Τὴν τῶν ἀψύχων εἰδώλων τὴν λατρείαν ὡς ἄκαρπον ἐλέγξαντες, καὶ τὴν ζωηφόρον πίστιν τοῦ Χριστοῦ συμφώνως ἀνακηρύξαντες, θύματα ἄμωμα γεγόνατε, θεῖοι Μάρτυρες τοῦ Συκουρίου. Διὸ ἀνδρειοφρόνως συναθλήσαντες, ὁμοῦ συνεκληρονομήσατε τὴν δόξαν τοῦ Παραδείσου, ἧς καὶ ἡμᾶς καταξιωθῆναι, τὸν φιλάνθρωπον Δεσπότην ἱκετεύσατε.

Δόξα. Ἦχος πλ.α'.

Τῶν Ὀλυμπίων ψευδοθεῶν τὴν πλάνην μεγαλοφώνως διελέγξαντες, καὶ τοῦ Σωτῆρος Χριστοῦ τὴν θεότητα παῤῥησίᾳ ἀνακηρύξαντες, τοῦ μαρτυρίου εὐθὺς ἠξιώθητε, ἡ μακαριωτάτη πεντὰς τῶν ἀθλοφόρων τοῦ Συκουρίου· εἰς τὰ οὐράνια δὲ δώματα τοῦ πνευματικοῦ Ὀλύμπου ἀνελθόντες, μὴ ἐπιλάθεσθε δεόμεθα, τῶν ἐν πόθῳ ἑορταζόντων, τὴν ἔνδοξον μνήμην ὑμῶν.

Καὶ νῦν. Προεόρτιον, ὁμόηχον.

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Χαίρει μαρτυροτόκος φαιδρῶς, σήμερον κώμη Συκουρίου γεραίρουσα, τὴν μνήμην τὴν φωτοφόρον, τῶν ἑαυτῆς Ἀθλητῶν, ἀνακηρυξάντων τὴν θεότητα, Χριστοῦ καὶ τὸν στέφανον, εἰληφότων τὸν ἄφθαρτον, καὶ Παραδείσου, γεγονότων οἰκήτορες, ἔνθα βλέπουσι, τοῦ Κυρίου τὸ πρόσωπον. Ὅθεν φωνὴν  εὐγνώμονα, ὡς μήτηρ καλλίμαρτυς, καθικετεύει τὴν πίστιν, ἡμῶν τηρεῖν ἐπαυξάνουσαν, καὶ πῦρ ἐν καρδίαις, τῆς Θεοῦ ἀγάπης καίειν, ἀειλαμπέστατον.

Στίχ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Χαίροις πεντὰς Χριστοῦ ἀθλητῶν, ἐν Συκουρίῳ ἀνδρικῶς μαρτυρήσασα, Ἀνδρέα καὶ Ἰωάννη, σὺν Λεωνίδη Λουκᾶ, καὶ τῷ Ἀνωνύμῳ οἱ θεόψυχοι, Θεόν τε καὶ ἄνθρωπον, τὸν Δεσπότην κηρύξαντες, τῶν δὲ εἰδώλων, τὴν λατρείαν ἐλέγξαντες, ὡς ψυχόλεθρον, καὶ τῆς πλάνης ἀπότοκον· ὅθεν πολλὰς ὑπέστητε, βασάνους μακάριοι, καὶ ἐναθλήσαντες στέφος, τῆς ἀφθαρσίας εἰλήφατε, καὶ νῦν ὑπὲρ πάντων, ἱκετεύσατε Δεσπότην, τὸν πολυέλεον.

Στίχ. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Κόσμον καὶ τὰ τοῦ κόσμου τερπνά, καταλιπόντες γενναιόψυχοι Μάρτυρες, προθύμως ὁμοῦ οἱ πέντε, πρὸς μαρτυρίου ὁδόν, ἐν τῷ Συκουρίῳ ἐβαδίσατε, διδάσκοντες ἅπασι, χριστωνύμοις τὴν δέουσαν, πρὸς τὸν Δεσπότην, ἱερὰν ἀφοσίωσιν, τὴν ἐγγίζουσαν, φαινομένων ἀπάρνησιν, ἥτις οὐκ ἀπαναίνεται, μαρτύρων ποτήριον, ἀλλὰ χωρεῖ πρὸς θυσίαν, τὴν δωρουμένην αἰώνιον, ζωὴν ἐν Κυρίῳ, καὶ τοῦ θείου Παραδείσου, τερπνὴν ἀπόλαυσιν.

Δόξα. Ἦχος δ'.

Οὐχ ὡς ἡ ἄκαρπος συκῆ, ἀλλ'ὡσεὶ καλλίκαρπον δένδρον ἀνεδείχθη τὸ Συκούριον, ἐκβλαστῆσαν θαυμαστῶς τῇ Ἐκκλησίᾳ, τὴν γενναιόκαρδον πεντάριθμον συνοδίαν, ἧς τὴν μνήμην ἱερῶς πανηγυρίζοντες, αἰτούμεθα ταῖς πρεσβείαις αὐτῆς, δοθῆναι παρὰ τοῦ ἐρχομένου τεχθῆναι Κυρίου, εἰρήνη, ἔλεος καὶ σωτηρία ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον, ὁμόηχον.

Ἠσαΐα χόρευε, Λόγον Θεοῦ ὑπόδεξαι· προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον πυρὶ καίεσθαι, καὶ μὴ καταφλέγεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ· καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον, Ὃν ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ Σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον.
Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ἰωάννη Ἀνδρέα σὺν Λουκᾷ Λεωνίδη τε,
ἅμα Ἀνωνύμω συνάθλῳ,
Συκουρίου καυχήματα,
κηρύξαντες Θεὸν ἀληθινόν,
προθύμως ὡς ἀρνία πρὸς σφαγήν,
ὡδηγήθητε λαβόντες στέφος λαμπρόν,
μάρτυρες καρτερόψυχοι.
Ὅθεν εὐχαῖς ὑμῶν σεπταῖς,
πάντας πιστοὺς στηρίξατε,
ὅπως δοξάζωμεν ὁμοῦ,
Τριάδα τὴν ὑπέρθεον.

Προεόρτιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ.
Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς,
ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου.
Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ,
ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν·
ἐξ οὗ φαγόντες ζήσομεν,
οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα.
Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν,
ἀναστήσων εἰκόνα.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν.
Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Εὐφραίνου ἐν χαρᾷ, Ἐκκλησία Λαρίσης, πεντάδα ἀθλητῶν, Συκουρίου πλουτοῦσα, ἧς αἷμα κατεπότισεν, ζωηφόρως τὰς ῥίζας σου, καὶ ἐξήνθησας, χορὸν παμπόλλων Ἁγίων, οἳ στολίζουσι, τὴν ἱερὰν σου πορφύραν, ὡς λίθοι χριστοδώρητοι.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Ἀγάλλου ἡ Σιών· Βηθλεὲμ εὐτρεπίζου· ὁ πάντων συνοχεύς,
τὸν Ἀστέρα προπέμψας, μηνύει τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν·
ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ Δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως,
ὁ μόνος Φιλάνθρωπος.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος γ'.Τὴν ὡραιότητα.

Δῶρον γενέθλιον, προσφέρει σήμερον, ἐνανθρωπήσαντι, Χριστῷ Συκούριον, τῶν πενταρίθμων ἀθλητῶν, Ἀνδρέαν καὶ Ἰωάννην, Λεωνίδην ἅμα τε, σὺν  Λουκᾷ καὶ Ἀνώνυμον, ἀπαρχὰς τῆς πίστεως,

Θεσσαλίας ὑπάρξαντας, οὓς πρέσβεις προβαλλόμεθα πάντες, ἵνα Θεῷ εὐαρεστήσωμεν.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα· ἡ Θεοτόκος γάρ, γεννᾶν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντός· ὢ θαύματος ἀνερμηνεύτου! ἄρχεται ὁ ἄναρχος, καὶ σαρκοῦται ὁ ἄσαρκος. Σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα. Ἡ Βηθλεὲμ ἀγάλλου καὶ χόρευε, ἡ κτίσις ἡμέραν προεόρτιον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Πεντὰς Ἁγίων ἀθλητῶν Συκουρίου, τὴν τῶν αἰσθήσεων πεντάδα εὐλόγει, τῶν πίστει ἀνυμνούντων σου τὴν θείαν τελευτήν, ὅπως ἐν τῷ σώματι, καὶ τῷ πνεύματι πάντες, τὸν Χριστὸν δοξάσωμεν, ὡς ὁ Παῦλος κελεύει, ὁ ὑπαλείπτης τῶν Χριστιανῶν, καὶ τῆς πεντάδος, ὑμῶν γυμνασίαρχος.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Ὁ δι' ἀγάπην πατρικῆς εὐσπλαγχνίας, πρὸς ἡμᾶς πέμψας τὸν Υἱὸν ἐπ᾽ ἐσχάτων, ἐκ τῆς Πανάγνου ἄσπορον φορέσαντα ἐν γῇ, σάρκα τὴν ἀνθρώπινον, ἵνα ῥύσῃ τῆς πλάνης,
πλάσμα τὸ ἀνθρώπινον· αὐτὸς πάντας ἐν πίστει, καταξιῶσαι γέννησιν Υἱοῦ, τοῦ προσκυνῆσαι ἀξίως δεόμεθα.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στίχος· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

**Εὐαγγέλιον,** Μαρτυρικόν, τὸ ἐν τῷ Ὄρθρῳ τοῦ ἁγ.Γεωργίου.

Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.
Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Τη σῇ ἐνανθρωπήσει, φωτοδότα Κύριε, ἡ σκοτεινόμορφος πλάνη τῶν εἰδώλων ἀπελήλαται, καὶ ἀληθείας ἐπέλαμψε τὸ σέλας, οὗ ταῖς ἀκτῖσιν τοῦ Συκουρίου οἱ μάρτυρες κατελλαμφθέντες, σὲ ὡς Θεάνθρωπον ἀνακηρύξαντες, τῆς ἀφθάρτου δόξης τῶν στεφηφόρων ἀθλητῶν σου ἠξιώθησαν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.
**Ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:**
*"Τοῦ Συκουρίου μάρτυρας τιμήσω ὕμνοις.Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Τριὰς ὑπερούσιε, καὶ ἡ πηγὴ ἁγιότητος, τὸν νοῦν μου καθάρισον, ὅπως ὑμνήσω σου, τὴν πεντάριθμον, χορείαν Συκουρίου, ἥτις μαρτυρήσασα, δόξαν σοι ἔδωκεν.

Ὀλύμπου τὸ ἄθροισμα, Δωδεκαθέου ἐφαύλισας, Ἀνδρέα μακάριε, καὶ ἀνεκήρυξας, τὴν θεότητα, Τριάδος παναγίας, διὸ τεθανάτωσαι, σὺν τοῖς συνάθλοις σου.

Ὑφῆπτε καρδίαν σου, ὁ θεῖος ἔρως χριστόψυχε, διὸ τὴν ψυχόλεθρον πλάνην διήλεγξας, καὶ Θεάνθρωπον, κηρύξας Ἰωάννη, ἐδέξω τὸν θάνατον, μάρτυς γενόμενος.

Θεοτοκίον

Συκούριον Δέσποινα, τῷ σῷ Υἱῷ προεόρτιον, ὡς δῶρον προσήγαγε, τοὺς πέντε Μάρτυρας, ἐναθλήσαντας, ἀνδρείως καὶ λαβόντας, ἀντίδωρον στέφανον, ἀειθαλλέστατον.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ὑπέμεινας πλῆθος τῶν βασάνων, σεπτὲ Λεωνίδη καρτερῶς, ὑπὲρ Χριστοῦ τῆς πίστεως, χαρὰ πιστῶν γενόμενος, καὶ Συκουρίου καύχημα, ὡς ἐναθλήσας στεῤῥότατα.

Καιρίως τοῖς βέλεσι τῶν λόγων, Λουκᾶ σκοτομήνην ζοφεράν, διέλυσας καὶ ἔδειξας, εἰδώλων ματαιότητα, καὶ μόνον φῶς ὑπάρχοντα, ζωῆς ἀνθρώπων τὸν Κύριον.
Οὐδόλως ὑπέκλινας αὐχένα, Ἀνώνυμε μάρτυς τοῦ Χριστοῦ, βασάνοις ἀπειλούμενος, ἀλλὰ γενναίως ἤθλησας, τελέσας τὸν ἀγῶνά σου, τῇ προσφορᾷ τῶν αἱμάτων σου.

Θεοτοκίον

Ὑπάρχουσα Μῆτερ τῶν Ἁγίων, χαρὰ καὶ πιστῶν χριστιανῶν, σκέπη ἡ ἀκαταίσχυντος, διὸ σκέπε Συκούριον, τὸ ἐκβλαστῆσαν Μάρτυρας, καὶ μεγαλύνον τὴν δόξαν σου.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

Κάθισμα .Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὀλύμπου τὴν ἔπαρσιν, ὡς ἕδρας ψευδοθεῶν, ἡ Ὄσσα κατέβαλεν, πεντάδα τῶν ἀθλητῶν, Κυρίου γεννήσασα, οἵτινες τῶν εἰδώλων, διελέγξαντες πλάνην, αἵμασι μαρτυρίου, ἐπεσφράγισαν πίστιν, τὴν μόνην ἀληθεύουσαν, καὶ πάντας σῴζουσαν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ. Μητέρες αἰνέσατε, τὴν προπομπὴν τῆς Μητρός, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Μάγοι σὺν τοῖς



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀγγέλοις, σὺν ἡμῖν οἱ Ποιμένες· ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι, Υἱὸν τὸν πρὸ αἰώνων Θεόν, σῴζοντα κόσμον φθορᾶς.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ῥήματα ζωήῤῥυτα τοῦ Χριστοῦ, πρὸ τῶν πλανωμένων ἠγόρευσας, ἀλλὰ Ἀνδρέα, ἀρνησάμενοι αὐτά, βασάνοις σε παρέδωκαν, καὶ Θεῷ τὸ πνεῦμα παρέδωκας.

Ἵνα Μαργαρίτην τὸν νοητόν, εὕρῃς Ἰωάννη θησαύρισμα, τῶν φαινομένων, ἀπηρνήσω ἡδονάς, καὶ χαίρων πρὸς μαρτύριον, πάσῃ σου δυνάμει ἀνέδραμες.

Ὅσα ὑπεσχέθη ὁ Ἰησοῦς, τοῖς Αὐτοῦ τηροῦσι προστάγματα, ὦ Λεωνίδη, σὺ ἐπέτυχες σαφῶς, μαρτυρικῶς τελέσας σου, βίον τὸν παρόντα καὶ σύντομον.

Θεοτοκίον

Ὕφανας Παρθένε ἐν σῇ γαστρί, σάρκα Θεανθρώπου τὴν πάναγνον, ἧς περ τρυφῶντες, οἱ ὀρθόδοξοι πιστοί, Αὐτῷ συσσωματούμεθα, καὶ τῆς ἁμαρτίας λυτρούμεθα.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσαί.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Μὴ πτήξας θεόψυχε, Λουκᾶ τὰς τῶν τυράννων σοι, ἀπειλὰς φρικτῶς ἐκφωνουμένας, ἀλλὰ γενναίως, ὁμολογήσας Χριστόν, ὡς Θεὸν καὶ ἄνθρωπον ὁμοῦ, χαίρων εἰσακήκοας, τοῦ θανάτου ἀπόφασιν.

Ἀνώνυμος ἔγνωσαι, ἡμῖν Μάρτυς πανένδοξε, ὁ γνωστὸς ὑπάρχων τῷ Κυρίῳ, δι᾽ Ὃν τοὺς ἄθλους καὶ τὰ μαρτύρια, ὑπομείνας τρόπῳ θαυμαστῷ, σὺν πέντε συνάθλοις σου, νικητὴς ἀνηγόρευσαι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥητόρων οἱ ἄριστοι, χορείαν νῦν συστήσασθε, καὶ πνευματικῶς Μάρτυρας πέντε, τοῦ Συκουρίου, ἐγκωμιάσατε, λόγοις ὥσπερ ἄνθεσι φαιδροῖς, τὴν αὐτῶν πανήγυριν, καθὼς δεῖ καταστέφοντες.

Θεοτοκίον

Τοῦ βίου βαδίζοντες, πορείαν Παναμώμητε, πειρασμοῖς βαλλόμεθα ποικίλοις, διὸ τὴν θείαν καὶ μητρικήν σου στοργήν, γνόντες ἐξαιτούμεθα θερμῶς, σκέπε ἡμᾶς πάντοτε, ὥσπερ ὄρνις νοσσία σου.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠιδὴ Ϛ'. Τὴν θείαν ταύτην.

Ὑψόθεν ἔσχες τὴν δύναμιν, Ἀνδρέα καὶ γενναίως ὑπήνεγκας, τὰ κολαστήρια, δι᾽ ὧν ὡς ῥήτωρ χριστόψυχος, τὴν εἰδωλομανούντων, πλάνην διήλεγξας.

Ῥωσθεὶς δυνάμει τοῦ Πνεύματος, ἐφάνης Ἰωάννη δικάζουσι, στύλος ἀκλόνητος, καὶ εὐθαρσῶς ἀνεκήρυξας, Χριστοῦ οἰκονομίαν, ψυχοσωτήριον.

Ἀγάπην ἔχων τοῖς στέρνοις σου, Λουκᾶ τὴν τοῦ Κυρίου ὑπέμεινας, ἅπασαν κάκωσιν, καὶ ταχυδρόμως ὡς ἔλαφος, τετύχηκας εἰσόδου, εἰς τὸν Παράδεισον.

Θεοτοκίον

Σὲ πάντες ἔχομεν Δέσποινα, ἀκοίμητον πρεσβείαν πρὸς Κύριον· ὅθεν αἰτούμεθα, ὅταν τὰ βέλη τῶν θλίψεων, ψυχὰς καταπονοῦσιν, ταχὺ βοήθησον.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῶν πενταρίθμων Συκουρίου Μαρτύρων,
πανηγυρίζοντες τὴν πάντιμον μνήμην,
ἐν εὐφροσύνῃ κράξωμεν ἐξ ὅλης ψυχῆς·
θεῖοι πρωτομάρτυρες, Θεσσαλίας ἁπάσης,
τῷ Χριστῷ πρεσβεύετε, ἐν ψυχαῖς τὴν ἀγάπην,
ἀεὶ τηρεῖσθαι ἄσβεστον Αὐτοῦ,
καὶ Παραδείσου, γενέσθαι οἰκήτορες.

**ὁ Οἶκος**

Ὅτε τὸ ζόφος εἰδώλων ἐκάλυπτε,
τὴν οἰκουμένην καὶ πάντας παρέσυρεν,
εἰς τὴν προσκύνησιν αὐτῶν μετὰ βίας,
τότε οἱ Πέντε χριστόψυχοι Ἀθληταὶ,
τοῦ Συκουρίου τὰ θεῖα γεννήματα,
τῇ ἀνοήτῳ μὴ ὑπαχθέντες προσκυνήσει,
μεγαλοφώνως τοῦ Κυρίου ἀνακηρύξαντες ἀλήθειαν,
καὶ τὴν ἀνθρωποσωτήριον ὁμολογήσαντες οἰκονομίαν,
ἀνδρείως ὑπέστησαν τὰς βασάνους,
καὶ τῆς θείας Βασιλείας οἰκήτορες γεγόνασιν,
οὓς ἐκ βαθέων ὡς φιλαδέλφους παρακαλοῦμεν·
Ἅγιοι Μάρτυρες, μὴ ἐπιλάθεσθε ἀείποτε ἡμῶν,
αἰτούμενοι τὸν ὑπὲρ Οὗ ἠθλήσατε Κύριον,
ὅπως γενέσθαι καὶ ἡμᾶς, τοῦ Παραδείσου οἰκήτορας.

*Τὸ Συναξάριον*

Τῇ ΙΗ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἐν Συκουρίῳ τῆς Λαρίσης ἀθλησάντων ἐνδόξων πέντε Μαρτύρων Ἰωάννου, Ἀνδρέου, Λουκᾶ, Λεωνίδου καὶ ἑτέρου Ἀνωνύμου συναθλητοῦ αὐτῶν.

Στίχοι



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Πεντὰς Μαρτύρων ὑπὲρ σεπτῆς Τριάδος,*
*Ἀνδρικῶς συνήθλησαν ἐν Συκουρίῳ.*
*Πένταθλος ἀνδρῶν συσκηνία ἐχθρὸν κατενίκησε.*

Ὑπόμνημα

*Ἡ ἐν Λαρίσῃ τοπικὴ Ἐκκλησία φαίνεται, ὅτι πολὺ ἐνωρὶς ἐδέξατο τὴν πίστιν τοῦ Εὐαγγελίου. Τὸ γεγονὸς τοῦτο μαρτυρεῖ ἡ ὕπαρξις ἁγίων Μαρτύρων, πρωΐμων χριστιανικῶν χρόνων, ὡς βεβαιοῖ Τράπεζα Μαρτύρων προερχομένη ἐκ τῆς κώμης τοῦ Συκουρίου καὶ μεταφερθεῖσα πρὸ τοῦ ἔτους 1908 εἰς Βυζαντινὸν Μουσεῖον Ἀθηνῶν, ἔνθα καὶ ἀποθησαυρίζεται. Αὕτη ἀμελῶς κεχαραγμένη ἐπὶ φαιοχρώμου μαρμαρίνης πλακός, τεθραυσμένη εἰς πέντε τεμάχια, φέρει πέντε κυκλικὰς ὀπὰς καὶ διασῴζει τὰ ὀνόματα τεσσάρων Μαρτύρων, ἐνῷ τοῦ πέμπτου κατεστράφη τὸ ὄνομα. Εἰς δύο σειρὰς τὰ ὀνόματα τῶν ἁγίων Μαρτύρων εἶναι: Ἰωάννης, Λουκᾶς, Ἀνδρέας καὶ Λεωνίδης, ἐνῷ εἰς δύο σειρὰς ἐπίσης ἡ ἐπιγραφὴ ἀναφέρει τὴν δωρήτριαν τοῦ μαρτυρικοῦ τεκμηρίου Σωτ(ηρίαςϗ Σωτηρίδοςϗ).*

*Καθῆκον, ὅθεν, ἐπεῖγον θεωρήσας ὁ Σεβασμιώτατος Μητροπολίτης Λαρίσης καὶ Πλαταμῶνος κ.Ἰγνάτιος τὴν σύνταξιν, ἄχρι τοῦδε μὴ ὑπαρχούσης, πανηγυρικῆς ἀκολουθίας πρὸς τιμὴν τῶν Ἁγίων τούτων Μαρτύρων τῆς τοπικῆς Ἐκκλησίας, παρήγγειλε ταύτην, ἥτις, χάριτι Θεοῦ, συντεθεῖσα τίθεται πρὸς χρῆσιν ἐφεξῆς τῶν φιλομαρτύρων πιστῶν.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων Ζωῆς, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου καὶ Μάρκου.**

*Στίχοι.*

*Σεβαστιανὸς τῶν πλάνης σεβασμάτων.*
*Καταφρονήσας τύπτεται τὸ σαρκίον.*
*Ὀγδοάτῃ δεκάτῃ Σεβαστιανὸς ῥοπαλίσθη.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ζωὴ πρὸς ὕψος ἐκ κεφαλῆς ἠρμένη,*
*Καπνῷ δυσώδει λαμβάνει ζωῆς τέλος.*

*Ναί, βάλλετε σφοδρῶς με συχνοῖς τοῖς λίθοις,*
*Ἐκ καρδίας ἔκραζεν ὁ Τραγκυλῖνος.*

*Καὶ τοὺς περὶ Κλαύδιον ὧδε τακτέον.*
*Οὓς, κἂν βυθὸς συνέσχεν, οὐρανὸς φέρει.*

*Τιβουρτίου τέμνουσι τὴν θείαν κάραν,*
*Σύ μου Θεὸς κράζοντος, ὦ Θεοῦ Λόγε.*

*Κάστουλον εἷλκον εἰς ἀπωλείας βόθρον.*
*Ὡς δ' οὐχ ὑπεῖξε, γῆς ἐνεβλήθη βόθρῳ.*

*Ἐχθρῶν παγέντες, οἷα λόγχαι, καρδίας,*
*Νύττεσθε λόγχαις, Μᾶρκε καὶ Μαρκελλῖνε.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Εὐβιότου.**

*Στίχοι.*
*Ἤθλησεν Εὐβίοτος ἄχρις αἱμάτων,*
*Βίου δὲ τέρμα εὗρε χωρὶς αἱμάτων.*

**Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φλώρου, Ἐπισκόπου Ἀμινσοῦ.**

*Στίχοι.*
*Εἴκων ὁ Φλῶρος τῇ πάλαι κατακρίσει,*
*Εἰς γῆν ἀπῆλθε· γῆ γὰρ ἦν, καὶ τί ξένον;*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Μνήμη τῶν ἁγίων μαρτύρων Φωκᾶ καὶ Ἑρμύλου, διὰ ξίφους τελειωθέντων.**

*Στίχοι.*
*Ἔγωγε τμηθῶ πρῶτον, Ἕρμυλος λέγει.*
*Οὔ, φησὶ Φωκᾶς, ἀλλ' ἐγὼ πρῶτος τρέχω.*

**Μνήμη τῶν ἁγίων μαρτύρων, Ζακχαίου διακόνου, καὶ Ἀλφειοῦ ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.**

*Στίχοι.*
*Ζακχαῖος, Ἀλφειός, πόθῳ Θεοῦ Λόγου,*
*Εἵλοντο τὸν θάνατον εὐσεβοφρόνως.*

**Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Μοδέστου Α', ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ θαυματουργοῦ.**

*Στίχοι.*
*Σιὼν τῆς κάτω Μόδεστος ποιμὴν θεῖος,*
*Σιὼν τῆς ἄνω τρυφητής, καὶ δικαίως!*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Γατιανοῦ, πρώτου ἐπισκόπου Τουρώνης (Τούρ) τῆς Γαλλίας.**

*Στίχοι.*
*Συνῆψας Χριστῷ πλήθη ἐν τῇ Τουρώνῃ,*
*Καὶ νῦν, σὺ Γατιανέ, Αὐτῷ συνήφθης.*

**Μνήμη τῆς ἁγίας καὶ θαυματουργοῦ Σοφίας.**

*Στίχοι.*

*Θεοῦ Σοφίαν ἠγάπησε Σοφία,*
*Ὅθεν χάριν δέδεκτο καὶ τῶν θαυμάτων.*

**Τῇ αὐτῇ ἡμέρᾳ, τὰ Ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Χαλκοπρατείοις.**

*Στίχοι.*
*Σκηνὴν ἁγιάζουσι νῦν ἐγκαινίοις,*
*Τῆς τῶν βροτῶν τὴν φύσιν ἐγκαινισάσης.*

**Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ Συγκέλλου, τοῦ ὁμολογητοῦ.**

*Στίχοι.*
*Οὐκ, εἰ τελευτᾷς Μιχαήλ, τοῦτο ξένον·*
*Ἀλλ' εἰ θανὼν ζῇς, ὥς περ οὖν ζῇς ἀξίως.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σεβαστιανοῦ, ἐν τῷ ὄρει Ποσεχόνιε τῆς Ρωσσίας ἀσκήσαντος.**

*Στίχοι.*
*Σεβαστιανός, ἀνδρείως ἐξασκήσας,*
*Σὺν ἀσκηταῖς σεμνοῖς Χριστοῦ ἠριθμήθη.*

**Μνήμη τοῦ ἁγίου Συμεὼν τοῦ ἐν Βερχοτούριγιε τοῦ Τομπόλσκ ἀποστολικῶς ἐκμετρήσαντος τὸν βίον.**

*Στίχοι.*
*Ἔχων Συμεὼν ζῆλον τῶν Ἀποστόλων,*
*Ἔχει ὡς μισθὸν κάλλη τοῦ Παραδείσου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιήλ τοῦ ἡσυχαστοῦ ἐν Βορονέτς τῆς Ρουμανίας.**

*Στίχοι.*

*Τύπος ὢν Δανιὴλ ἡσυχαστοῦ θείου,*
*Παθῶν λέοντας εὐχῇ καθυποτάσσει.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Τρισυπόστατον, ὁμολογῶν θεότητα, τὴν δωδεκάθεον, ἀνεῖλες πλάνην σοφῶς, ὡς λέων βρυχώμενος, ὦ Λεωνίδη σεπτέ, καταπλήξας σου, βασανιστὰς καὶ ἤθλησας, ἐν βασάνοις πολυτρόποις.

Ἱερώτατον, ἐγένου μάρτυς σφάγιον, ἀνενεχθεὶς νοερῶς, Χριστῷ τῷ παμβασιλεῖ, Ὃν Μάρτυς ἠγάπησας καὶ ἐκ βαθέων ψυχῆς, ἠκολούθησας, ὡς πρόβατον Ἀνώνυμε, μέχρις ὥρας μαρτυρίου.
Μαρτυρώνυμον, τοῦ Συκουρίου ἄθροισμα, τοὺς ἀνυμνοῦντάς σου, τοὺς ἄθλους τοὺς ἱερούς, καὶ θεῖα μαρτύρια, πάντας ἀξίωσον, τὰ αἰφνίδια, τοῦ βίου πειρατήρια, ὑπομένειν ἀγογγύστως.

Θεοτοκίον

Ἥλιον φωτίζοντα τὸν κόσμον, τεκοῦσα Παρθένε Θεονύμφευτε, φώτισον τοὺς δούλους σου, ὕμνοις σε γεραίροντας, καὶ ἀνυμνοῦντας πάντοτε, τὸν θεῖον τόκον σου, ὅπως τέκνα, τοῦ φωτὸς γενώμεθα, καὶ ζωῆς αἰωνίου τευξώμεθα.

Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σῶμά σου τὸ σάρκινον Ἀνδρέα, ὡς λίθος ἀναίσθητος ἐγένετο, ὅταν κολαστήρια, ἔφερεν ἀνύποιστα, χάριτι δυναμούμενον, Ἁγίου Πνεύματος, καὶ τὸ θάμβος, πᾶσι προεξένησεν, τοῖς ὁρῶσιν ἀπίστοις τὰ ἆθλά σου.

Ὦτά σου ὑπέκλινας Κυρίῳ, τῷ λέγοντι ὃς ὁμολογήσει με, ὡς Θεὸν καὶ ἄνθρωπον, τοῦτον κατενώπιον, ἀνθρώπων ὡς ἡμέτερον ἔξω καὶ στέφανον, ἐπιδώσω, Ἰωάννη εἴληφας, ὡς τελέσας καλῶς τὸ μαρτύριον.

Ὑπὲρ πάντα μόνον Λεωνίδη, Χριστὸν ἀγαπήσας προθυμότατα, τὴν ζωήν σου δέδωκας, ἵνα τὴν αἰώνιον, κληρονομήσῃς ἅγιε, καὶ ἐφορᾷς τὸ γλυκύ, τοῦ Κυρίου, πρόσωπον σὺν ἅπασι, τοῖς Ἁγίοις Αὐτοῦ εἰς παράδεισον.

Θεοτοκίον

Μόνην ἔχοντές σε πρὸς Δεσπότην, μεσίτριαν Ἄχραντε προσπίπτομεν, καὶ παρακαλοῦμέν σε, Τοῦτον καθικέτευε, ὅπως ἡμῶν τὰ σφάλματα, καὶ παραπτώματα, συγχωρήσῃ, καὶ παράσχῃ δύναμιν, ἐν ἡμέραις κινδύνων καὶ θλίψεων.

Καταβασία. Αἰνοῦμεν, εὐλογοῦμεν. Θαύματος ὑπερφυοῦς.

Ὠιδὴ θ'. Ἅπας γηγενής.

Νίκην ὦ Λουκᾶ, μεγίστην ἐνίκησας μόνον Θεὸν τὸν Χριστόν, πάσῃ γενναιότητι, ἀνακηρύξας καὶ τὴν σκοτόμορφον, εἰδωλικὴν φαυλότητα, ἐκμυκτηρίσας σοφῶς, σὺν τετράδι, θείων συμμαρτύρων σου, κοινωνὸς Παραδείσου γεγένησαι.

Οὐδαμῶς καὶ σύ, ὦ Μάρτυς Ἀνώνυμε, ταῖς φοβεραῖς ἀπειλαῖς, καὶ πικραῖς κολάσεσι, τῶν τυραννούντων μικρὸν παρέκλινας, ἀλλ' ἔμεινας ἀπτόητος, ὁμολογῶν τοῦ Χριστοῦ, δι' ἀνθρώπους, θείαν συγκατάβασιν, καὶ ἀθλήσας σεπτῶς τετελείωσαι.

Ἱεροπρεπῶς, τὴν θείαν πανήγυριν τῶν Συκουρίου βλαστῶν, σήμερον τελέσωμεν, καὶ τὸν Δεσπότην καθικετεύσωμεν, ὅπως ἡμῖν χαρίζηται ὑπομονὴν καρτεράν, καὶ ἀγάπην, Τούτου ἀμετάθετον, ὡς πεντάδι Μαρτύρων δεδώρηται.

Σῶσον Ἰησοῦ, λαὸν τὸν χριστώνυμον, ταῖς τῶν Μαρτύρων εὐχαῖς, πᾶσι παρεχόμενος, τοῦ Παναγίου Πνεύματος δύναμιν, ὅπως παγίδας φεύγωμεν τοῦ πολεμοῦντος ἐχθροῦ, καὶ σὲ μόνον, πάντοτε λατρεύωμεν, Λαρισαῖοι ὡς Πάντες οἱ Ἅγιοι.

Θεοτοκίον

Ἄχραντε ἁγνή, τὰς πύλας ὑπάνοιξον τῆς σωτηρίας ἡμῖν, εἰ καὶ ἁμαρτάνομεν, ὅμως Υἱοῦ σου οὐκ ἀφιστάμεθα, ὡς μέλη Τούτου τίμια ἐκ τοῦ βαπτίσματος, ὅθεν πίστει, πάντες μεγαλύνομεν, τὴν μεγάλην σου δόξαν Πανύμνητε.

Καταβασία. Μεγάλυνον, ψυχή μου. Μυστήριον ξένον.
Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θεοπρεπῶς κηρύξαντες, Ἰησοῦ θείαν πίστιν, πάντες ὁμοῦ ἠλέγξατε, τὴν σκοτόμορφον πλάνην, τὴν τῶν ἀψύχων εἰδώλων, οἱ βλαστοὶ Συκουρίου, γῆν Θεσσαλίας βάψαντες, αἵμασι τοῖς τιμίοις, διὸ Χριστόν, πάντοτε πρεσβεύετε Ἀθλοφόροι, ὑπὲρ τελούντων εὐλαβῶς, τὴν φαιδρὰν ὑμῶν μνήμην.

Θεοτοκίον, προεόρτιον. Γυναῖκες ἀκουτίσθητε.

Πιστοὶ τὰ προεόρτια, τῶν Γενεθλίων ᾄσματα, νῦν προηχήσωμεν πίστει· ἔρχεται ἥκει γὰρ Χριστός, ἐν Βηθλεὲμ τοῦ τεχθῆναι, ὡς βροτὸς ἐκ Παρθένου, καὶ ὁραθῆναι νήπιος, σπαργάνοις ἐνειλημένος, ὁ πρὸ αἰώνων ὑπάρχων.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ! τοῦ παραδόξου θαύματος.

Χαίρει Συκούριον σήμερον, καὶ ἑορτάζει φαιδρῶς, τοὺς αὐτοῦ θείους Μάρτυρας, οἵτινες τὸν Κύριον, ὡς Θεόν τε καὶ ἄνθρωπον, πρὸ τῶν τυράννων, καθωμολόγησαν, καὶ τῶν εἰδώλων, πλάνην διήλεγξαν, ὅθεν τὸν στέφανον, μαρτυρίου ἔλαβον καὶ ἐκτενῶς, ἐν χαρᾷ πρεσβεύουσιν, ὑπὲρ ἡμῶν τῷ Χριστῷ.

Χαῖρε Ἀνδρέα χριστόψυχε, σὺν Ἰωάννη Λουκᾶ, Λεωνίδη Ἀνώνυμε, πέντε θεῖοι Μάρτυρες, Συκουρίου καυχήματα, δωδεκαθέου πλάνην ἐλέγξαντες, καὶ τῆς Τριάδος πίστιν κηρύξαντες, διὸ ἐτύχετε, μαρτυρίου στέφανον παρὰ Χριστοῦ, καὶ Αὐτῷ πρεσβεύετε, ὑπὲρ ἡμῶν ἐκτενῶς.

Φωτὶ Χριστοῦ ἐλλαμπόμενοι, πεντὰς σεπτῶν Ἀθλητῶν, τῶν εἰδώλων σκοτόμορφον, πλάνην ἐμυκτήρισαν, καὶ τὸν ζόφον διέλυσαν, φωνῇ μεγάλῃ ἀνακηρύξαντες, Εὐαγγελίου, πίστιν τὴν σῴζουσαν, ὅθεν γευσάμενοι, μαρτυρίου θάνατον θεοπρεπῶς, ἀενάως βλέπουσι, Χριστοῦ τὸ πρόσωπον.

Ὥσπερ εὐπρόσδεκτα θύματα, ἡ Θεσσαλία κοινῶς, τῷ Χριστῷ προσενήνοχεν, ὑμᾶς θεῖοι Μάρτυρες, Ἰωάννη μακάριε, κλεινὲ Ἀνδρέα, Λουκᾶ χριστόψυχε, καὶ Λεωνίδη σὺν Ἀνωνύμῳ τε· ὅθεν δοξάζουσα, τὸν ὑμᾶς δοξάσαντα καὶ τὴν ἰσχύν, τοῦ Ἁγίου Πνεύματος, πλουσίως δόντα ὑμῖν.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὡς ὑπέρτιμον δῶρον, τῷ ἐν Σπηλαίῳ γεννηθῆναι ἐρχομένῳ Χριστῷ, τὰ τίμια ὑμῶν αἵματα, προσενηνόχατε θεῖοι Μάρτυρες. Καὶ οὕτω Συκουρίου καὶ πάντων πιστῶν, ὑπάρχετε ἀντιλήπτορες θερμοί, καθικετεύοντες ἐν παῤῥησίᾳ τὸν Φιλάνθρωπον Δεσπότην, ὅπως καταξιώσῃ καὶ ἡμᾶς,

τῆς Βασιλείας τῶν οὐρανῶν.

Καὶ νῦν. Προεόρτιον, ὁμόηχον.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· Φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς· Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε· Ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή,
αἰνεσάτω τὸν Παντουργέτην.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

*Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ Μαρτυρικά.*

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

Χαίρετε πεντάριθμοι ἀθληταί, κώμης Συκουρίου, ἐκβλαστήματα ἱερά, οἱ ἐν μαρτυρίῳ, τελέσαντες τὸν βίον, καὶ ἐκ Χριστοῦ λαβόντες, στέφος τὸ ἄφθαρτον.

Ἔνδοξε Ἀνδρέα, μάρτυς Χριστοῦ, Λεωνίδη μάκαρ, Ἰωάννη θεοφιλές, σὺν τῷ Ἀνωνύμῳ, Λουκᾶ ,στεφανηφόροι, ὑπὲρ ἡμῶν Δεσπότην, καθικετεύσατε.

Ὢ πεντὰς τιμία μαρτυρική, πάσης Θεσσαλίας, πρωτομάρτυρες εὐκλεεῖς, χεῖρας ἀνυψοῦτε, πρὸς τὸν καλὸν Δεσπότην, ὅπως ἁγίως ζῶμεν, ὑμῶν ἀπόγονοι.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Στίχοι

*Οἱ πεντάριθμοι Μάρτυρες Συκουρίου,*
*Τοὺς χριστωνύμους εὐλογεῖτε Λαρίσης*